## 24 ΣΕΠΤΕΜΒΡΙΟΥ 2017

Κυριακὴ Α΄ Λουκᾶ

Παναγίας Μυρτιδιωτίσσης, Ἰσαποστόλου Θέκλης, Σιλουανοῦ ὁσίου τοῦ Ἀθωνίτου

Ἦχος Βαρύς. Ἑωθινὸν Ε΄.

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον, Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι πρέπει σοι πᾶσα δόξα...*

Ἦχος βαρύς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

### ΑΠΟΛΥΤΙΚΙΑ

Τὸ Ἀναστάσιμον. Ἦχος βαρύς.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ λῃστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας, ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα.

Ἀπολυτίκιον τῆς Ἁγίας Θέκλης. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σέ Νυμφίε μου ποθῶ, καὶ Σέ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ Σου. Καὶ πάσχω διὰ Σέ, ὡς βασιλεύσω σὺν Σοί· καὶ θνήσκω ὑπὲρ Σοῦ, ἵνα καὶ ζήσω ἐν Σοί. Ἀλλ᾽ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν Σοι. Αὐτῆς πρεσβείαις, ὡς Ἐλεήμων σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Ἀπολυτίκιον τῆς Μυρτιδιωτίσσης.

(Σωφρονίου Παγκάλου, Ἐπισκόπου Κυθήρων)

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Λαοί, νῦν κροτήσωμεν δεῦτε τὰς χεῖρας πιστῶς, καὶ ᾄσωμεν ᾄσμασι τῇ Θεομήτορι, ἐν πόθῳ κραυγάζοντες· χαῖρε, ἡ προστασία πάντων τῶν δεομένων· χαῖρε, ἡ σωτηρία τῶν τιμώντων σε πόθῳ· χαῖρε, ἡ τῷ παραλύτῳ τὴν ἴασιν βραβεύσασα.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὸν τὸ κράτος...*

* * *

### ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν

Ἀναστάσιμον. Ἦχος βαρύς.

Ἡ ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο, καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο· ὡς βασιλέα ὑπνοῦντα, στρατιῶται ἐφύλαττον Χριστόν, καὶ Ἄγγελοι ἐδόξαζον, ὡς Θεὸν ἀθάνατον· γυναῖκες δὲ ἐκραύγαζον· Ἀ-

νέστη ὁ Κύριος, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα.

Τῇ τριημέρῳ ταφῇ σου σκυλεύσας τὸν θάνατον, καὶ φθαρέντα τὸν ἄνθρωπον, τῇ ζωηφόρῳ ἐγέρσει σου, ἀναστήσας Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος· δόξα σοι.

Καὶ νῦν.

τῆς Μυρτιδιωτίσσης

Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ

Δεῦτε πάντες οἱ πιστοί, δεῦτε θεάσασθε θερμῶς, θαῦμα παράδοξον καὶ γάρ, σήμερον ἔλαμψεν ἡμῖν, ἐν τῇ πανσέπτῳ καὶ τεσσαρακονθημέρῳ ἡμέρᾳ τῆς ἁγνῆς θείας Κοιμήσεως, ἐν ᾗ λαμπρῶς τελοῦμεν τὴν πανήγυριν, πᾶς ὁ λαός καὶ παῖδες τῶν Κυθηραίων· καὶ γὰρ Παράλυτον ἤγειρεν ἡ Θεοτόκος, ἐν τῷ ἁγίῳ τῶν Μυρτιδίων Ναῷ αὐτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν.

Ἦχος βαρύς.

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης, ἡ πάντων ἀνάστασις· Πνεῦμα εὐθὲς δι᾽ αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα.

Ἐπὶ τὸ μνῆμα ἔδραμον γυναῖκες, μετὰ δακρύων μύρα φέρουσαι, καὶ στρατιωτῶν φυλασσόντων σε, τὸν τῶν ὅλων Βασιλέα, ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον; καὶ φωνῆς Ἀσωμάτων ἤκουον λεγούσης. Ἀνέστη ὁ μεγάλης βουλῆς Ἄγγελος, πατήσας τὸν θάνατον. Παντοδύναμε Κύριε, δόξα σοι.

Καὶ νῦν.

τῆς Μυρτιδιωτίσσης

Τὸ προσταχθέν. Ἦχος πλ. δ΄.

Τῶν Ὀρθοδόξων ὁ πιστὸς σύλλογος θεῖος, ἐν τῷ πανσέπτῳ σου Ναῷ Κόρη πανάχραντε, μετὰ πόθου προθύμως νῦν προσπελάζων, Παρθένε Μήτηρ Κυρίου κράζει θερμῶς. Ἐν ὥρᾳ τῆς καταδίκης τε καὶ ὀργῆς, τῆς μελλούσης Κολάσεως, λύτρωσαι πάντας τοὺς πιστούς, καὶ σωτηρίαν δώρησαι τοῖς πιστῶς προσκυνοῦσί σε.

* * *

## ΑΝΑΣΤΑΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δέ, Σωτήρ, τὴν ἰσχὺν καθελόντα καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι, κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ ἄγγελος προσεφθέγγετο ταῖς μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωῒ μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ᾽ ἐπέστη πρὸς αὐτὰς ὁ ἄγγελος καὶ εἶπε· Θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε· τὴν ἀνάστασιν δὲ ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά σου, Σῶτερ, ἐνηχοῦντο ἀγγέλου πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτου Υἱόν τε καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα ἐν μιᾷ τῇ

οὐσίᾳ, σὺν τοῖς Σεραφεὶμ κράζοντες τὸ Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας· χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες· ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός. (γ΄)

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι ηὐλόγηταί Σου...*

* * *

## ΥΠΑΚΟΗ, ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

ἡ Ὑπακοή. Ἦχος βαρύς.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβών, καὶ ὑπομείνας Σταυρὸν σωματικῶς, σῶσόν με τῇ ἀναστάσει σου, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

### οἱ Ἀναβαθμοί. Ἦχος βαρύς.

Ἀντίφωνον Α΄.

Τὴν αἰχμαλωσίαν Σιών, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ Σωτὴρ ζῴωσον, ἐξαίρων δουλοπαθείας.

Ἐν τῷ νότῳ ὁ σπείρων θλίψεις, νηστείας μετὰ δακρύων, οὗτος χαρᾶς δρέψεται, δράγματα ἀειζωοτροφίας.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πηγὴ τῶν θείων θησαυρισμάτων, ἐξ οὗ σοφία, σύνεσις, φόβος· αὐτῷ αἴνεσις, δόξα, τιμή, καὶ κράτος.

Ἀντίφωνον Β΄.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τὸν τῆς ψυχῆς, μάτην κοπιῶμεν· πλὴν γὰρ αὐτοῦ, οὐ πρᾶξις, οὐ λόγος τελεῖται.

Τοῦ καρποῦ τῆς γαστρός, οἱ Ἅγιοι πνευματοκινήτως, ἀναβλαστοῦσι, πατρῷα δόγματα υἱοθεσίας.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὰ σύμπαντα τὸ εἶναι ἔχει· πρὸ πάντων γὰρ Θεός, τῶν ὅλων κυριότης, φῶς ἀπρόσιτον, ζωὴ τῶν πάντων.

Ἀντίφωνον Γ΄.

Οἱ φοβούμενοι τὸν Κύριον, ὁδοὺς ζωῆς εὑρόντες, νῦν καὶ ἀεὶ μακαριοῦνται, δόξῃ ἀκηράτῳ.

Κύκλῳ τῆς τραπέζης σου, ὡς στελέχη βλέπων τὰ ἔκγονά σου, χαῖρε εὐφραίνου, προσάγων ταῦτα, τῷ Χριστῷ ποιμενάρχα.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, βυθὸς χαρισμάτων, πλοῦτος δόξης, κριμάτων βάθος μέγα· ὁμόδοξον Πατρὶ καὶ Υἱῷ, λατρευτὸν γάρ.

### Προκείμενον.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. (δίς)

Στίχ. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.
Ἀνάστηθι, Κύριε ὁ Θεός μου...

* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

ὁ διάκονος· *Τοῦ Κυρίου δεηθῶμεν.* Κύριε, ἐλέησον. ὁ ἱερεύς· *Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...*

Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοή… πᾶσα τὸν Κύριον.

ὁ διάκονος· ***Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.*** Κύριε, ἐλέησον. (γʹ)

ὁ διάκονος· ***Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.***

ὁ ἱερεύς· ***Εἰρήνη πᾶσι.*** Καὶ τῷ Πνεύματί σου.

ὁ ἱερεύς· ***Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.***

ὁ διάκονος· ***Πρόσχωμεν.*** Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ ἱερεὺς ἀναγινώσκει τὸ ἐνδιάτακτον Ἑωθινὸν Εὐαγγέλιον

## Ἑωθινὸν Εʹ

## Ἐκ τοῦ κατὰ Λουκᾶν

(κδʹ 12-35)

Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς. Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς· οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καί ἐστε σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ, καὶ παντὸς τοῦ λαοῦ, ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου καὶ ἐσταύρωσαν αὐτόν· ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφʾ οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ ἦλθον, λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω, καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται! Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωϋσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν κώμην, οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτὸν λέγοντες· Μεῖνον μεθʾ ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετʾ αὐτῶν, λαβὼν τὸν ἄρτον, εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπʾ αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας· Ὅτι ἠγέρθη ὁ Κύριος ὄντως καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας διʾ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

οἱ χοροὶ ψάλλουν ἀντιφωνικῶς κατὰ στίχον

Ἦχος βʹ.

Ἐλεῆμον, Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ τὸ πεντηκοστάριον. Ἦχος ὁ αὐτός.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον. (ιβ´) Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

ὁ Ἀναστάσιμος μετὰ τῶν εἱρμῶν, ὁ τῆς Θεοτόκου καὶ ὁ τοῦ Μηναίου

### Ὠιδὴ α´.

ὁ Ἀναστάσιμος εἰς δ´

(ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ)

Ἦχος βαρύς. Ὁ Εἱρμός.

Νεύσει σου πρὸς γεώδη, ἀντιτυπίαν μετήχθη, ἡ πρὶν εὐδιάχυτος, ὑδάτων φύσις Κύριε· ὅθεν ἀβρόχως πεζεύσας, ᾄδει Ἰσραὴλ σοι, ᾠδὴν ἐπινίκιον.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Κέκριται τοῦ θανάτου, ἡ τυραννὶς διὰ ξύλου, ἀδίκῳ θανάτῳ σου, κατακριθέντος Κύριε· ὅθεν ὁ ἄρχων τοῦ σκότους, σοῦ μὴ κατισχύσας, δικαίως ἐκβέβληται.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ἅιδης σοι προσπελάσας, καὶ τοῖς ὀδοῦσι μὴ σθένων, συντρῖψαι τὸ σῶμά σου, τὰς σιαγόνας τέθλασται· ὅθεν Σωτὴρ τὰς ὀδύνας, λύσας τοῦ θανάτου, ἀνέστης τριήμερος.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Λέλυνται αἱ ὀδύναι, αἱ τῆς προμήτορος Εὔας· ὠδῖνας λαθοῦσα γάρ, ἀπειρογάμως τέτοκας· ὅθεν σαφῶς Θεοτόκον, Πάναγνε εἰδότες, σὲ πάντες δοξάζομεν.

ὁ Κανὼν τῆς Μυρτιδιωτίσσης,

οὗ ἡ ἀκροστιχίς· Ὕμνον ᾄδω σοι καινὸν Παρθένε Μαρία ἁγνή. Μελέτιος Καλλονᾶς.

Ἦχος α΄. Ὠιδὴν ἐπινίκιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑμνήσωμεν ἅπαντες πίστει καὶ πόθῳ, Μαρίαν τὴν ἄχραντον, Βάτον ἀκατάφλεκτον, ἣν εἶδε πάλαι Μωσῆς, καὶ ὡς Μητέρα τοῦ Θεοῦ πάντες δοξάσωμεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Κύριος ἔδειξέ σε Πλατυτέραν, Οὐρανῶν πανάχραντε Θρόνον τε Χερουβικόν· ἐν ᾧ αὐτὸς ὁ Χριστὸς ἐπανεπαύσατο· διὸ πιστῶς σε δοξάζομεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νεφέλη ὁλόφωτε σὺ φωτιεῖς μου, τὸν νοῦν τὸν ἐν πάθεσιν ἡδονῶν σκοτούμενον· ὡς γὰρ Αὐγὴ μυστική, φέρεις τὸν ἥλιον Χριστόν, μεθ᾽ ὃν σὲ δοξάζομεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἀνάκτων τὸ καύχημα Νύμφη τοῦ Λόγου, ἀνύμφευτε Ἄνασσα δεῖξόν με ἀνώτερον, τῶν ἐν ἐμοὶ κραταιῶς βασιλευόντων παθῶν, ἵνα δοξάζω σε.

ὁ Κανὼν τῆς Ἁγίας,

οὗ ἡ Ἀκροστιχίς· Ἡ Πρωτομάρτυς ἐνθέως δοξάζεται. (ἄνευ τῶν Θεοτοκίων) ποίημα Ἰωάννου Μοναχοῦ

Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἦχος γλώττης οὐ σθένει, τοὺς πανευκλεεῖς τῆς Πρωτομάρτυρος, διηγήσασθαι ἄθλους· ἀτονεῖ γὰρ πρὸς ὕμνον ἐπάξιον.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πέπαυται τοῦ τυράννου, ἡ ἀλαζονεία ἡ ὑπέροφρυς· κατὰ τούτου γυναῖκες, εὐσεβῶς ἐν Χριστῷ γὰρ ἠνδρίσαντο.

Δόξα.

Ῥήμασιν ἀποῤῥήτοις, εὐαγγελικῶς ἐνηχηθεῖσά σου, παμμακάριστε Παῦλε, τῷ Χριστῷ ἡ παρθένος νενύμφευται.

Καὶ νῦν.

Θεοτοκίον

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμέν σε.

## Ὠιδὴ γ΄.

ὁ Ἀναστάσιμος

Ἦχος βαρύς. Ὁ Εἱρμός.

Ὁ κατ᾽ ἀρχὰς τοὺς οὐρανούς, παντοδυνάμῳ σου Λόγῳ, στερεώσας Κύριε Σωτήρ, καὶ τῷ παντουργῷ καὶ θείῳ Πνεύματι, πᾶσαν τὴν δύναμιν αὐτῶν, ἐν ἀσαλεύτῳ με πέτρᾳ, τῆς ὁμολογίας σου στερέωσον.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Σὺ ἀνελθὼν ἐπὶ ξύλου, ὑπὲρ ἡμῶν ὀδυνᾶσαι, ἑκουσίως εὔσπλαγχνε Σωτήρ, καὶ φέρεις πληγὴν εἰρήνης πρόξενον, καὶ σωτηρίας τοῖς πιστοῖς, δι᾽ ἧς τῷ σῷ Ἐλεῆμον, πάντες κατηλλάγημεν Γεννήτορι.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Σύ με καθῆρας τῆς πληγῆς, τὸν τῇ ψυχῇ τετρωμένον, δρακοντίῳ δήγματι Χριστέ, καὶ ἔδειξας φῶς ἐν σκότει πάλαι μοι, κατῳκισμένῳ καὶ φθορᾷ· διὰ Σταυροῦ γὰρ εἰς ᾅδην, καταβεβηκώς με συνανέστησας.

Θεοτοκίον

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τῆς ἀπειράνδρου σου Μητρός, ταῖς ἱκεσίαις τῷ κόσμῳ, τὴν εἰρήνην βράβευσον Σωτήρ, καὶ τῷ βασιλεῖ τὴν νίκην δώρησαι, κατὰ βαρβάρων δυσμενῶν, καὶ τῆς ἀφράστου σου δόξης, τοὺς δοξολογοῦντάς σε ἀξίωσον.

τῆς Θεοτόκου

Ἦχος α΄. Λίθον ὃν ἀπεδοκίμασαν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὢ Παρθενικὸν ἀπάνθισμα, τὸ τῆς παρθενίας καύχημα καὶ κλέος, καὶ Μητέρων δόξα· σύ γὰρ τῆς Παρθενίας τὰ κλεῖθρα πεφύλαξας, Χριστὸς ἐκ σοῦ Κόρη τεχθείς, ἅπαντας πιστοὺς ἐστερέωσε.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σύ εἶ λογικὸς Παράδεισος, πάντες σε ὑμνοῦμεν· Λιμὴν τῶν ἐν ζάλῃ κλυδωνιζομένων, θαλάσσης κυμαινούσης τοῦ βίου πλωτήρων τε, σῶσον Παρθένε τῶν δεινῶν, ἅπαντας πιστοὺς καὶ στερέωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὅλος οὐρανόθεν ἤλυθεν ὁ Λόγος τοῖς κάτω, καὶ Σκηνὴν ἁγίαν καὶ καθαρὰν εὑρών σε, ὅλως ἐν σοὶ Παρθένε ἀῤῥήτως κατῴκησεν, οὐδόλως τῶν ἄνωθεν ἀπών, σῶσόν με, διὸ καὶ στερέωσον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Κάθαρσιν ψυχῆς καὶ σώματος, δὸς κᾀμοὶ Παρθένε· σύ γὰρ ἐκκαθαίρεις μολυσμοὺς πταισμάτων, ὅτι Κολυμβήθρα σωτήριος δείκνυσαι, δι᾽ ἧς σῳζόμεθα πιστοί, καὶ σωτηρίᾳ στερεούμεθα.

τῆς Ἁγίας,

Ἦχος πλ. δ΄. Σὺ εἶ τὸ στερέωμα.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ τῆς ἀγαπήσεως, τῆς ὑπὲρ ἔννοιαν πάνσεπτε! ᾗ ἐν Χριστῷ, Παύλῳ συνεδέθης, ἑνωθεῖσα τῷ Πνεύματι.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τρῶσαι ἡ ἐνήδονος, τὴν τετρωμένην σου ἔρωτι, πνευματικῷ, φρένα οὐκ ἰσχύει, τῶν γηΐνων ἀπόλαυσις.

Δόξα.

Ὅλη ἐκδημήσασα, τῶν τῆς σαρκὸς παθῶν ῥήμασι, τοῖς μητρικοῖς, οὐκ ἐμαλακίσθης, Ἀθληφόρε πανεύφημε.

Καὶ νῦν.

Θεοτοκίον

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολὰς ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Μεσῴδιον Κάθισμα τοῦ Μηναίου

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Εἰς ἀνδρείαν τὸ θῆλυ δι᾽ ἀρετῶν, μεταθεῖσα τῷ πόθῳ τῷ τοῦ Χριστοῦ, Θεοῦ οἰκητήριον, ἀμφοτέρωθεν γέγονας· τῶν παθῶν γὰρ τὸν γνόφον, ἀσκήσει μειώσασα, μαρτυρικῶς ἐδείχθης, ἀθλήσεως καύχημα· ὅθεν καὶ τῷ κόσμῳ, ὡς φωστὴρ διαλάμπεις, δισσῶς ἐξαστράπτουσα, τὰς ἀκτῖνας τοῦ Πνεύματος, Πρωτομάρτυς πανεύφημε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν

δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν.

Θεοτοκίον τῆς Μυρτιδιωτίσσης

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Παραλύτῳ τὴν ῥῶσιν, Μῆτερ Θεοῦ, θαυμαστῶς ἐδωρήσω καὶ τῶν δεσμῶν, αὐτὸν ἠλευθέρωσας, Μυρτιδίων ἐν Οἴκῳ σου· καὶ τὸν ἀποπληξίᾳ, νοσήσαντα ἔσωσας, ἐπικαμφθεῖσα θρήνοις, λαοῦ καὶ δεήσεσι· πλείστοις ἀσθενοῦσι τὴν ὑγείαν παρέσχες, καὶ πάντας ἐξήγαγες, δυσχερῶν περιστάσεων, Κυθηραίους βοῶντάς σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐλαβῶς προσκυνοῦσι, τὴν σεπτὴν Εἰκόνα σου.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

τὸ Ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου.

Ἦχος βαρύς. Οὐκέτι φλογίνη ῥομφαία.

Οὐκέτι τὸ κράτος τοῦ θανάτου, ἰσχύσει κατέχειν τοὺς βροτούς· Χριστὸς γὰρ κατῆλθε συντρίβων, καὶ λύων τὰς δυνάμεις αὐτοῦ· δεσμεῖται ὁ ᾅδης, Προφῆται συμφώνως ἀγάλλονται· Ἐπέστη, λέγοντες, Σωτὴρ τοῖς ἐν σκότει· ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

ὁ Οἶκος

Ἔτρεμε κάτωθεν τὰ καταχθόνια σήμερον, ὁ ᾅδης καὶ ὁ θάνατος τὸν Ἕνα τῆς Τριάδος· ἡ γῆ ἐκλονεῖτο, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν· ἡ κτίσις δὲ πᾶσα σὺν τοῖς Προφήταις χαίρουσα ψάλλει σοι, ἐπινίκιον ᾠδὴν τῷ λυτρωτῇ ἡμῶν Θεῷ, τῷ καταλύσαντι νῦν θανάτου τὴν δύναμιν. Ἀλαλάξωμεν καὶ βοήσωμεν τῷ Ἀδάμ, καὶ τοῖς ἐξ Ἀδάμ· Ξύλον τοῦτον εἰσήγαγεν· ἐξέρχεσθε οἱ πιστοὶ εἰς τὴν ἀνάστασιν.

### Συναξάριον

Τῇ ΚΔ΄ τοῦ αὐτοῦ μηνός, ἀνάμνησιν ποιούμεθα τῆς εὑρέσεως τῆς σεβασμίας Εἰκόνος τῆς Θεομήτορος ἐν Μυρτιδίοις, ἐν ἔτει χιλιοστῷ τριακοσιοστῷ καὶ πεντηκοστῷ (1350), ὡς καὶ τοῦ θαύματος αὐτῆς ἐν τῇ νήσῳ Κυθήρων, ὅτε τόν παράλυτον ἤγειρε.

Στίχοι

Τέρας νεουργὸν εὐλογῶ τῆς Παρθένου.
Ἔσφιγξε καὶ γὰρ νῦν μέλη παρειμένα.
Εἰκάδι ἀμφὶ τετάρτη ἔῤῥωται παράλυτος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῆς Ἁγίας Ἐνδόξου Μεγαλομάρτυρος καὶ Πρωτομάρτυρος ἐν γυναιξίν, Ἰσαποστόλου Θέκλης, τῆς ἐξ Ἰκονίου, μαθητρίας καὶ συνεκδήμου γενομένης τοῦ Πρωτοκορυφαίου Ἀποστόλου Παύλου.

Στίχοι

Αὐτός σε σῴζει Θέκλα ῥήξας τὴν πέτραν,
Οὗ τῷ πάθει πρὶν ἐῤῥάγησαν αἱ πέτραι.
Πέτρη ἀμφὶ τετάρτην εἰκάδα δέξατο Θέκλην.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κόπριος, τοῦ ἐν Παλαιστίνῃ, ἐν τῇ Μονῇ τοῦ ὁσίου Θεοδοσίου ἀσκήσαντος καὶ ἐν ἔτει πεντακοσιοστῷ καὶ τριακοστῷ (530) κοιμηθέντος.

Στίχοι

Οὐκ ἦν ὁ Κόπρις κόπρις, ἀλλ᾽ ἄλλος βότρυς,
Καλὸν κυπρισμὸν προσφέρων τῷ Κυρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ εὐσεβεστάτου Βασιλέως τῶν Σέρβων Στεφάνου τοῦ Β΄ τοῦ Πρωτοστεφοῦς, υἱοῦ Νεμάνια, πρώτου στεφθέντος Βασιλέως ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Σάββα πρώτου Ἀρχιεπισκόπου Σερβίας. Μετὰ δὲ τὴν θητείαν αὐτοῦ ἐν τῷ Βασιλικῷ Θρόνῳ ἐπὶ ὀκτὼ ἔτη, ἐκάρη

μοναχὸς καὶ μετωνομάσθη εἰς Σίμωνα καὶ ἐν εἰρήνῃ ἐκοιμήθη, ἐν ἔτει χιλιοστῷ διακοσιοστῷ εἰκοστῷ καὶ ὀγδόῳ (1228), ταφεὶς ἐν τῇ Μονῇ Στουδένιτσα, ὅπου καὶ διασῴζεται ἄφθορον τὸ τίμιον λείψανον αὐτοῦ.

Στίχοι

Ἐκ Στεφάνου γέγονε μοναχὸς Σίμων,
Σέρβων βασιλεύς. Ὢ θαύματος τοῦ ξένου!

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ὁσίων Βλαδισλὰβ βασιλέως τῆς Σερβίας, υἱοῦ Νεμάνια καὶ αὐτοῦ, καὶ τοῦ ἀνεψιοῦ αὐτοῦ Δημητρίου, τοῦ διὰ τοῦ ἁγίου σχήματος ὀνομασθέντος Δαβὶδ μοναχοῦ.

Στίχοι

Γονικὴν ἔχοντες εὐλάβειαν βάσιν,
Βλαδισλὰβ ἡγίασε καὶ Δαβὶδ ἅμα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμην ποιούμεθα τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Σιλουανοῦ τοῦ Ἀθωνίτου Ῥώσου, τοῦ Νεολαμποῦς, τοὐπίκλην Ἰβάνοβιτς ἢ Ἀντώνωφ, τοῦ ἐν τῇ Ἱερᾷ Μονῇ τοῦ ἁγίου Μεγαλομάρτυρος Παντελεήμονος ἤτοι Ῥωσσικοῦ ἐν Ἄθωνι ἀσκήσαντος, θεοφιλῶς δὲ τελειωθέντος ἐν εἰρήνῃ κατὰ τὸ σωτήριον ἔτος χίλια ἐνακόσια τριάκοντα καὶ ὀκτὼ (1938).

Στίχοι

Χριστόν, Σιλουανέ, Ὃν εἶδες πρὶν ἐν βίῳ,
Αὐτὸν καὶ νῦν βλέπεις, ἀλλ᾽ οὐχὶ ἐν ἐσόπτρῳ.
Γάννυται Πατρὶς ἡ φθαρτὴ ἐπὶ σοὶ φύσει, Πάτερ,
Χαίρει Ἄθως δέ, σὲ ἐν Πνεύματι Ὅσιον θρέψας.
Δασώνυμον δέξατ᾽ Οὐρανὸς Ἀθωνίτην.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἀβραμίου, ἡγουμένου τῆς ἐν Μιρόζᾳ Ἱερᾶς Μονῆς τοῦ Σωτῆρος Χριστοῦ.

Στίχοι

Σωτῆρος Μονήν, Ἀβράμιε, ἱδρύσας,
Αὐλίζῃ λαμπρῶς ἐν μοναῖς ταῖς ἀΰλοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν Νικάνδρου τοῦ ἐν Πσκώφ τῆς Ῥωσσίας.

Στίχοι

Τύπος ὀφθεὶς ὁ Νίκανδρος ἡσυχίας,
Γλυκέος Χριστοῦ νῦν ἀπολαύει τῆς θέας.

Καὶ Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γαλακτίωνος τοῦ ἐν Βολογκντᾷ.

Στίχοι

Ἀσκήσει πρῴην Θεῷ εὐαρεστήσας,
Γαλακτίων εἴληφε μάρτυρος στέφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Πανήγυρις ἐν τῇ ἐπαρχίᾳ Πσκόφ, παρὰ τὴν Πετρούπολιν, τῆς σεβασμίας Εἰκόνος τῆς Θεομήτορος, τῆς Δεομένης, τῆς ἐπιλεγομένης τοῦ Μιρόζ, ἔτι δὲ καὶ μνήμη τῶν Ὁσίων Ἀβραμίου, Νικάνδρου τοῦ Ἐρημίτου καὶ θαυματουργοῦ καὶ Γαβριὴλ μοναχοῦ, τῶν ἐν Πσκόφ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἀνάμνησις τῆς ἀφίξεως τῶν πρώτων Ἱεραποστόλων ἐν Ἀλάσκᾳ καὶ Ἀμερικῇ γενικῶς, ἐν ἔτει χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ καὶ τετάρτῳ (1794), καὶ Σύναξις πάντων τῶν ἐν Ἀλάσκᾳ ἀθλήσει καὶ ἀσκήσει διαλαμψάντων Ἁγίων, ἔτι δὲ καὶ Μνήμη τῶν ἐκεῖσε Μαρτύρων Ἰουβεναλίου Ἱερομάρτυρος ἐν Ἀλάσκᾳ καὶ Πρωτομάρτυρος τῆς Ἀμερικῆς (1796) καὶ Πέτρου τοῦ Ἀλεουτίου, Μάρτυρος, τοῦ ὑπὸ λατινικῶν μιαιφόνων χειρῶν ἀποκτανθέντος (1815).

Ταῖς τῆς σῆς Παναχράντου Μητρὸς θείαις Μεσιτείαις καὶ Προστασίαις, ἔτι δὲ καὶ τῶν σῶν Ἁγίων ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

τῆς Θεοτόκου

Ὠδὴ α´. Ἦχος δ´.

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος καὶ λόγον ἐρεύξομαι τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

Ὠιδὴ γ΄.

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου ...

...στεφάνων δόξης ἀξίωσον.

Ὠιδὴ δ΄.

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν τῆς ἐκ τῆς Παρθένου σαρκώσεως σοῦ τοῦ ὑψίστου ὁ προφήτης Ἀββακοὺμ κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠιδὴ ε΄.

Ἐξέστη τὰ σύμπαντα ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γάρ, ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεὸν καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε σωτηρίαν βραβεύοντα.

Ὠιδὴ ς΄.

Τὴν θείαν ταύτην καὶ πάντιμον τελοῦντες ἑορτὴν οἱ θεόφρονες τῆς Θεομήτορος δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

Ὠιδὴ ζ΄.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν ἀνδρείως πατήσαντες χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεός, εὐλογητὸς εἶ.

Ὠιδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος τὴν οἰκουμένην ἅπασαν ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ὁ διάκονος· *Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.*

## Η ΩιΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἦχος δ΄.

Στίχ. α΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. β΄. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. γ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. δ΄. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ε.΄ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ϛ΄. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέ-

ρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.
Τὴν τιμιωτέραν τῶν Χερουβὶμ...

Καταβασία. Ὠιδὴ θ΄.

Ἅπας γηγενὴς σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πανηγυριζέτω δὲ ἀΰλων νόων φύσις, γεραίρουσα τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις, παμμακάριστε Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·
*Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...*

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἦχος β΄.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ,
… ὅτι ἅγιός ἐστιν.

Ἀναστάσιμον Ἐξαποστειλάριον Ε΄.

Ἡ ζωὴ καὶ ὁδὸς Χριστός, ἐκ νεκρῶν τῷ Κλεόπᾳ καὶ τῷ Λουκᾷ συνώδευσεν, οἷς περ καὶ ἐπεγνώσθη, εἰς Ἐμμαοὺς κλῶν τὸν ἄρτον· ὧν ψυχαὶ καὶ καρδίαι, καιόμεναι ἐτύγχανον, ὅτε τούτοις ἐλάλει ἐν τῇ ὁδῷ, καὶ Γραφαῖς ἡρμήνευεν, ἃ ὑπέστη· μεθ᾽ ὧν, Ἠγέρθη, κράξωμεν, ὤφθη τε καὶ τῷ Πέτρῳ.

Ἐξαποστειλάριον τῆς Ἁγίας
Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Ῥωσθεῖσα καλλιπάρθενε, ταῖς θείαις εἰσηγήσεσι, τοῦ θεοκήρυκος Παύλου, φθαρτὸν μνηστῆρα παρεῖδες, καὶ τούτῳ ἠκολούθησας, Πρωτομάρτυς πολύαθλε, ὦ Θέκλα ἰσαπόστολε· διὸ καὶ νίκης τὸ στέφος παρὰ Χριστοῦ ἐκομίσω.

Θεοτοκίον ὅμοιον.

Κυρίως Θεοτόκον σε, ὁμολογοῦμεν Δέσποινα, οἱ διὰ σοῦ σεσωσμένοι· τὸν γὰρ Θεὸν ἀποῤῥήτως, ἐκύησας τὸν λύσαντα, διὰ Σταυροῦ τὸν θάνατον, πρὸς ἑαυτὸν δ᾽ ἑλκύσαντα, Μαρτύρων δήμους· μεθ᾽ ὧν σε, ..
.. ἀνευφημοῦμεν Παρθένε.

* * *

## ΑΙΝΟΙ

Ἦχος βαρύς.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στιχηρὰ Ἀναστάσιμα. Ἦχος βαρύς.

Στίχ. α΄. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.
Ἀνέστη Χριστὸς ἐκ νεκρῶν, λύσας θανάτου τὰ δεσμά· εὐαγγελίζου γῆ χαρὰν μεγάλην· αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

Στίχ. β΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον.

Στίχ. γʹ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Χριστοῦ τὴν ἀνάστασιν, προσκυνοῦντες οὐ παυόμεθα· αὐτὸς γὰρ ἡμᾶς ἔσωσεν, ἐκ τῶν ἀνομιῶν ἡμῶν· ἅγιος Κύριος Ἰησοῦς, ὁ δείξας τὴν ἀνάστασιν.

Στίχ. δʹ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; δι᾽ ἡμᾶς Θεὸς ἐν ἀνθρώποις· διὰ τὴν καταφθαρεῖσαν φύσιν, ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· πρὸς τοὺς ἀχαρίστους ὁ εὐεργέτης· πρὸς τοὺς αἰχμαλώτους ὁ ἐλευθερωτής· πρὸς τοὺς ἐν σκότει καθημένους, ὁ Ἥλιος τῆς δικαιοσύνης· ἐπὶ τὸν Σταυρὸν ὁ ἀπαθής· ἐπὶ τὸν ᾅδην τὸ φῶς· ἐπὶ τὸν θάνατον ἡ ζωή· ἡ ἀνάστασις διὰ τοὺς πεσόντας· πρὸς ὃν βοήσωμεν· Ὁ Θεὸς ἡμῶν δόξα σοι.

καὶ τῆς Μυρτιδιωτίσσης δʹ

Ἦχος δʹ. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στίχ. εʹ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἀσματόπλοκον στέφανον, τῇ Παρθένῳ προσοίσωμεν, Κυθηραῖοι σήμερον ἀγαλλόμενοι, ταύτης φαιδρῶς ἑορτάζοντες, Εἰκόνος τὴν ἀνεύρεσιν, ἣν κειμήλιον σεπτόν, κεκτημένοι βοήσωμεν, ἀναμέλποντες· τοὺς τιμῶντάς σε σῷζε Κυθηραίους, ταῖς ἁγίαις σου πρεσβείαις, Θεοχαρίτωτε Δέσποινα.

Στίχ. ϛʹ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Ἀδοξίας τῆς πρότερον, ἐλυτρώσω τὴν Νῆσόν σου, καὶ εἰς δόξαν ἔνθεον ἀνεβίβασας, ταύτῃ τὴν θείαν Εἰκόνα σου, λαμπρῶς φανερώσασα, ἐξ εὐόσμων μυρσινῶν, καὶ θαυμάτων ταῖς λάμψεσι, καταυγάζουσα, Κυθηραίους Προστάτιν σε εἰδότας, καὶ φαιδρῶς σε ἀνυμνοῦντας, Θεοχαρίτωτε Δέσποινα.

Στίχ. ζʹ. Παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν Σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.

Παραλύτῳ ἀνόρθωσιν, ἀποπλήκτῳ τὴν ἴασιν, θαυμαστῶς ἐβράβευσας τῇ Εἰκόνι σου· Νήσου μακρὰν ἀπεδίωξας, λοιμὸν τὸν πανώλεθρον, καὶ βουλὰς τῶν πειρατῶν, ὡς ἀράχνην διέλυσας, εὐτεκνίαν τε, γυναιξὶ στειρευούσαις ἐδωρήσω, καὶ νοσοῦσι τὴν ὑγείαν, Θεοχαρίτωτε Δέσποινα.

Στίχ. ηʹ. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Ὥσπερ Μήτηρ φιλόστοργος, εὐσπλαγχνίας τε πέλαγος, καὶ ἐλέους ἄβυσσος τοὺς προστρέχοντας, πίστει Ναὸν εἰς τὸν θεῖόν σου, πληροῖς εὐφροσύνης τε, καὶ γαλήνης ψυχικῆς, ἐφαπλοῦσα τὴν χάριν σου τὴν σωτήριον, ἐπὶ πάντας τοὺς πόθῳ προσκυνοῦντας, τὴν ἁγίαν σου Εἰκόνα, Θεοχαρίτωτε Δέσποινα.

Δόξα. Ἑωθινὸν Εʹ. Ἦχος πλ. αʹ.

Ὢ τῶν σοφῶν σου κριμάτων Χριστέ! πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις μόνοις, ἔδωκας ἐννοῆσαί σου τὴν ἀνάστασιν; Λουκᾷ δὲ καὶ Κλεόπᾳ, συμπορευόμενος ὡμίλεις, καὶ ὁμιλῶν, οὐκ εὐθέως σεαυτὸν φανεροῖς; Διὸ καὶ ὀνειδίζῃ, ὡς μόνος παροικῶν ἐν Ἱερουσαλήμ, καὶ μὴ μετέχων τῶν ἐν τέλει βουλευμάτων αὐτῆς. Ἀλλ᾽ ὁ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν, καὶ τὰς περὶ σοῦ προφητείας ἀνέπτυξας, καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον, ἐγνώσθης αὐτοῖς· ὧν καὶ πρὸ τούτου αἱ καρδίαι, πρὸς γνῶσίν σου ἀνεφλέγοντο· οἳ καὶ τοῖς Μαθηταῖς συνηθροισμένοις, ἤδη τρανῶς ἐκήρυττόν σου τὴν ἀνάστασιν· δι᾽ ἧς ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾍδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτω-

ται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

* * *

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (γ΄)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα. Καὶ νῦν.
Ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

*καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ·*
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

*Καὶ τὸ ἀναστάσιμον τροπάριον. Ἦχος β΄.*

Ἀναστὰς ἐκ τοῦ μνήματος καὶ τὰ δεσμὰ διαῤῥήξας τοῦ ᾅδου, ἔλυσας τὸ κατάκριμα τοῦ θανάτου, Κύριε, πάντας ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ ῥυσάμενος· ἐμφανίσας σεαυτὸν τοῖς ἀποστόλοις σου ἐξαπέστειλας αὐτοὺς ἐπὶ τὸ κήρυγμα καὶ δι᾽ αὐτῶν τὴν εἰρήνην παρέσχες τῇ οἰκουμένῃ, μόνε πολυέλεε.

*ἢ*
*τὸ ἕτερον ἀναστάσιμον τροπάριον. Ἦχος δ΄.*

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀντίφωνα τῶν Κυριακῶν

Ἀντίφωνον Α´. Ἦχος β´. (Ψαλμὸς ρβ´)

Στίχ. α´. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β´. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. γ´. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. δ´. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β´. Ἦχος β´. (Ψαλμὸς ρμε´)

Στίχ. α´. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. β´. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Στίχ. γ´. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Στίχ. δ´. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ´. Ἦχος βαρύς. (Ψαλμὸς ριζ´)

Στίχ. α´. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Ἦχος βαρύς.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ λῃστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας, ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. β´. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον.

Στίχ. γ´. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον.

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

## Εἰσοδικόν. Ἦχος β΄.

(ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν)

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν… … ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

## Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Ἦχος βαρύς.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελῆται συλλείτουργον)

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ ληστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας, ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

## Ἀπολυτίκιον τῆς Μυρτιδιωτίσσης.
## Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Λαοί, νῦν κροτήσωμεν δεῦτε τὰς χεῖρας πιστῶς, καὶ ᾄσωμεν ᾄσμασι τῇ Θεομήτορι, ἐν πόθῳ κραυγάζοντες· χαῖρε, ἡ προστασία πάντων τῶν δεομένων· χαῖρε, ἡ σωτηρία τῶν τιμώντων σε πόθῳ· χαῖρε, ἡ τῷ παραλύτῳ τὴν ἴασιν βραβεύσασα.

## Ἀπολυτίκιον τῆς Ἁγίας Θέκλης.
## Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ· Σέ Νυμφίε μου ποθῶ, καὶ Σέ ζητοῦσα ἀθλῶ, καὶ συσταυροῦμαι, καὶ συνθάπτομαι τῷ βαπτισμῷ Σου. Καὶ πάσχω διὰ Σέ, ὡς βασιλεύσω σὺν Σοί· καὶ θνήσκω ὑπὲρ Σοῦ, ἵνα καὶ ζήσω ἐν Σοί. Ἀλλ᾽ ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν Σοι. Αὐτῆς πρεσβείαις, ὡς Ἐλεήμων σῶσον τὰς ψυχὰς ἡμῶν.

## Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

## Κοντάκιον τῆς Θεοτόκου. Ἦχος β΄.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελῆται συλλείτουργον)

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

* * *

## ΑΠΟΣΤΟΛΟΣ

τῆς Ἁγίας

(ΛΓ΄ Ἑβδομάδος - Κυριακῆς Τελώνου)

Προκείμενον καὶ Ἀλληλουάριον τῆς Ἁγίας

Προκείμενον. Ἦχος δ΄. (Ψαλμὸς ξζ΄)

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

## Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

(Β΄ Τιμ. γ΄ 10-15)

Τέκνον Τιμόθεε, παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις· οἵους διωγμοὺς ὑπήνεγκα· καὶ ἐκ πάντων με ἐῤῥύσατο ὁ Κύριος. Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται. Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπι-

στώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἐκ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

Ἀλληλούϊα. (γ΄)

Ἦχος πλ. δ΄. (Ψαλμὸς λθ΄)

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

* * *

## ΕΥΑΓΓΕΛΙΟΝ

Κυριακῆς Α΄ Λουκᾶ

### Ἐκ τοῦ κατὰ Λουκᾶν

(ε΄ 1-11)

Τῷ καιρῷ ἐκείνῳ, ἑστὼς ὁ Ἰησοῦς παρὰ τὴν λίμνην Γεννησαρέτ, εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ᾿ αὐτῶν ἀπέπλυναν τὰ δίκτυα. Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον, καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· Ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. Καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ· Ἐπιστάτα, δι᾿ ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον. Καὶ τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ· διεῤῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν. Καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον, καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. Ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ λέγων· Ἔξελθε ἀπ᾿ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε· θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ συνέλαβον· ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. Καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα ἠκολούθησαν αὐτῷ.

Δόξα σοι, Κύριε, δόξα σοι.

* * *

**Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἰ. Χρυσοστόμου**

* * *

Εἰς τό· Ἐξαιρέτως…

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

* * *

Κοινωνικόν.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν. Ἦχος β΄.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Εἰς τό· *Πάντοτε, νῦν καὶ ἀεί…*

Ἦχος β΄.

Ἀμήν, Ἀμήν, Ἀμήν. Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων καὶ φρικτῶν σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν. Ἦχος β΄.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ΄)

Ἀπόλυσις· *Ὁ ἀναστὰς ἐκ νεκρῶν…*

Δι᾿ εὐχῶν... Ἀμήν.

* * * * *

**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε**

**καὶ διανέμεται δωρεὰν**

**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο**

**http://akolouthies.wordpress.com**

**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι.**

**Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**

## Ἀπολυτίκια τῶν συνεορταζομένων Ἁγίων

Ἀπολυτίκιον τῆς Μυρτιδιωτίσσης.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὡς κρήνη ἀκένωτος, τῶν παρὰ σοὶ ἀγαθῶν, Εἰκών σου ἡ ἄχραντος, τοῖς Κυθηρίοις Ἁγνή, ἐδόθη κραυγάζουσι, χαῖρε ἡ προστασία, πάντων τῶν δεομένων, χαῖρε ἡ σωτηρία, τῶν τιμώντων σε πόθῳ, χαῖρε ἡ τῷ παραλύτῳ, τὴν ἴασιν βραβεύουσα.

Ἕτερον Ἀπολυτίκιον τῆς Μυρτιδιωτίσσης.

(ποίημα Σοφοκλέους Καλούτση)

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὥσπερ καύχημα θεῖον ὡς ὡράϊσμα τίμιον, σοῦ τὴν Παναγίαν εἰκόνα Κυθηρίοις δεδώρησαι θαυμάτων ὡς ἀείροον πηγὴν κινδύνων καὶ δεινῶν ἀπαλλαγήν, ἀειπάρθενε Μαρία ὅθεν συμφώνως πόθῳ Σοι κραυγάζομεν· Δόξα τῷ σαρκωθέντι διὰ σοῦ δόξα τῷ σὲ ἀναδείξαντι πάντων τῶν Κυθηρίων κραταιὰν σκέπην καὶ πρόμαχον.

Ἀπολυτίκιον Παναγίας Παληανῆς ἐν Κρήτῃ.

(Γερασίμου Μικραγιαννανίτου)

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Εἰκών σου ἡ πάνσεπτος, φανερωθεῖσα ἡμῖν, ἐν μύρτῳ ἐσκήνωσε, τῇ ἐπινεύσει τῇ σῇ καὶ βλύζει ἰάματα. Ὅθεν Παληανήν σε, Θεοτόκε καλοῦμεν, πόθῳ σε ἀνυμνοῦντες, καὶ πιστῶς ἐκβοῶμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Ἕτερον.

(Κυρίλλου Ἐπισκ.Ῥόδου, τοῦ Κογεράκη)

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὴν σεπτήν σου Εἰκόνα, τοῦ πυρὸς διασώσασα, ταύτην ἐν μυρσίνῃ οἰκῆσαι, παραδόξως ηὐδόκησας· ἣν δένδρον ἀναδείξασα Ἁγνή, θερμῇ σου προμηθείᾳ εὐθαλές, ἐξ αὐτῆς ὑπερεκβλύζεις ὡς ἐκ πηγῆς, τὴν χάριν σου τοῖς βοῶσι· Δόξα τοῖς μεγαλείοις σου Σεμνή, δόξα τοῖς θαυμασίοις σου, δόξα Παληανὴ τῇ πρὸς ἡμᾶς ἐπιστασίᾳ σου.

Ἀπολυτίκιον Παναγίας Φιλερήμου ἐν Ῥόδῳ.

(Κυρίλλου Ἐπισκ.Ῥόδου, τοῦ Κογεράκη)

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς ἀπόρθητον τεῖχος, καὶ ἀκρόπολιν ἄσειστον, Ῥόδος ἡ περίφημος νῆσος, τὸν Ναόν σου ἐκτήσατο, ἐν ᾧ ὥσπερ ἐν θρόνῳ ὑψηλῷ, ἐνίδρυται ἡ θεία σου Εἰκών, ἀναβλύζουσα τῆς χάριτος μυστικῶς, τὰ ῥεῖθρα τοῖς ἐκβοῶσι· Δόξα τοῖς μεγαλείοις σου Ἁγνή, δόξα τοῖς θαυμασίοις σου, δόξα Μῆτερ Φιλέρημε τῇ σῇ, πλουσίᾳ χρηστότητι.

### Ἕτερον.

(Κυρίλλου Ἐπισκ.Ῥόδου, τοῦ Κογεράκη)

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὴν θείαν Εἰκόνα σου, ὡς θησαυρὸν τιμαλφῆ, τοῦ πλούτου Φιλέρημε, τῆς μητρικῆς σου στοργῆς, τιμῶμεν οἱ δοῦλοί σου· βρύεις γὰρ ἀενάως, ἐξ αὐτῆς πᾶσι χάριν, τοῖς προσιοῦσι πόθῳ, καὶ πιστῶς ἐκβοῶσι· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

### Ἀπολυτίκιον τῆς Ἁγίας Θέκλης.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τοῦ Παύλου συνέκδημος, ὡς καθαρὰ τὴν ψυχήν, καὶ πρώταθλος πέφηνας, ἐν γυναιξὶν εὐκλεῶς, Χριστὸν ἀγαπήσασα· οὗ γὰρ τῆς εὐσεβείας, πτερωθεῖσα τῷ πόθῳ, ἤθλησας ὑπὲρ φύσιν, Ἰσαπόστολε Θέκλα. Διό σε ὁ Πανοικτίρμων, νύμφην ἠγάγετο.

### Ἕτερον Ἀπολυτίκιον τῆς Ἁγίας.

(Κυρίλλου Ϛ΄ Πατριάρχου Κωνσταντινουπόλεως)

Ἦχος γ΄. Θείας πίστεως.

Θείου κήρυκος διδασκαλίας, πόθῳ Κτίστου σου ἀναφλεχθεῖσα, τὸν γεηρῶν ὡς ῥεόντων ἠλόγησας· καὶ σεαυτὴν ἱερὸν καλλιέργημα, τῷ Θεῷ δοῦσα ποινῶν κατετόλμησας. Θέκλα ἔνδοξε, Παύλου τοῦ θείου συνέκδημε, τὸν σὸν Νυμφίον Χριστὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Ἕτερον Ἀπολυτίκιον τῆς Ἁγίας. Ἦχος β΄.

Ὡς τῷ Παύλῳ μαθητευθεῖσα πανεύφημε, καὶ τῇ πίστει στηριχθεῖσα Πέτρου Θεόσοφε· Πρωτομάρτυς ἀνεδείχθης καὶ πρωτόαθλος γυναιξίν, ἐπέβης τῇ φλογί, ὡς ἐν λειμῶνι εὐθαλής, θῆρες καὶ ταῦροι ἔφριξάν σε ὁπλισθεῖσα τῷ Σταυρῷ. Πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἀποστόλων Θέκλα συνέκδημε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἀπολυτίκιον τοῦ Ὁσίου Σιλουανοῦ.

(ποίημα Παύλου Ἱερομονάχου)

Ἦχος γ΄. Θείας πίστεως.

Κῆρυξ δέδοσαι τῇ οἰκουμένῃ σὺ γλυκύτατος ἐν θεολόγοις, τῆς τοῦ Χριστοῦ ἀγάπης, τρισόλβιε· τὸν Ταπεινὸν γὰρ καὶ Πρᾶον ἑώρακας, καὶ τὴν Ἐκείνου καρδίαν κατέμαθες. Ὅθεν ἅπαντες, Σιλουανέ, ἐλλαμπόμενοι τοῖς θεογλώσσοις ῥήμασι, δοξάζομεν τὸ πνεῦμα τὸ δοξάσαν σε.

### Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου.

Ἦχος δ΄. Κανόνα πίστεως.

Χριστὸν διδάσκαλον ἐν ὁδῷ ταπεινώσεως προσευξάμενος ἔλαβες, μαρτυροῦντος τοῦ Πνεύματος, ἐν σῇ καρδίᾳ τὴν λύτρωσιν, διὰ τοῦτο ἀσκήσεως ἀνεδείχθης σὺ ὁδηγός, ὡς φωτὸς θείου ἔμπλεως. Ὅσιε πάτερ Σιλουανέ, πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ἀπολυτίκιον τῆς Ὁσίου Σιλουανοῦ

(ὑπὸ Ἀθανασίου Σιμωνοπετρίτου)

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Κατηγλάϊσας Πάτερ Ὄρος τοῦ Ἄθωνος, ὑπὲρ φύσιν βιώσας καὶ τὴν τοῦ Πνεύματος, ἐπιδειξάμενος ἡμῖν θείαν ἐνέργειαν, ὅθεν τιμῶντές σου σεπτῶς, τὴν μνήμην ὦ Σιλουανέ, δοξάζομεν ἐκ καρδίας, τὸν παρασχόντα σε μέγαν, τῇ Ἐκκλησίᾳ χριστοκήρυκα.

Ἐπιθυμοῦμεν να ὑπομνήσωμεν καὶ ἐπισημάνωμεν εἰς τοὺς ἀγαπητοὺς ἀδελφοὺς Ἱεροψάλτας, ὅτι τὸ Ἀπολυτίκιον «Ἡ Ἀμνάς Σου, Ἰησοῦ» φέρει μὲν τὴν ἔνδειξιν «τρόπου» κατὰ τὸ «Κατεπλάγη Ἰωσήφ», ἀλλ᾽ ὡστόσο δὲν ψάλλεται σύμφωνα μὲ τὸν γνωστὸν τρόπον τοῦ ἐν λόγῳ Καθίσματος. Κινεῖται κυρίως ἐπὶ τοῦ Δι. Κατωτέρω παραθέτομεν καὶ ἄλλα παρόμοια Ἀπολυτίκια. Τὰ Προεόρτια δὲ τῶν Θεοφανείων, ὡς παρατηροῦμεν, δὲν φέρουσι κἄν τὴν ἔνδειξιν «Κατεπλάγη Ἰωσήφ».

Ἀπολυτίκιον Προεόρτιον. Γενεσίου τῆς Θεοτόκου. Ζ΄ Σεπτεμβρίου.
Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἐξ ὀσφύος τοῦ Δαυΐδ, ἡ θεόπαις Μαριάμ, τίκτεται σήμερον ἡμῖν· διὸ καὶ χαίρει ἡ σύμπασα καὶ καινουργεῖται· συγχαίρει τε ὁμοῦ, ὁ οὐρανὸς καὶ ἡ γῆ. Αἰνέσατε αὐτὴν αἱ πατριαὶ τῶν ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ἀπολυτίκιον. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἀπεγράφετο ποτὲ σὺν τῷ πρεσβύτῃ Ἰωσήφ, ὡς ἐκ σπέρματος Δαυΐδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. Ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι· ἀλλ᾽ ὡς τερπνὸν παλάτιον τὸ Σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο, Χριστὸς γεννᾶται τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.

Ἀπολυτίκιον Προεόρτιον. Ἦχος δ΄.

Ἑτοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτών, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδὰμ σὺν τῇ Προμήτορι, μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν, καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν, Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

Ἀπολυτίκιον Προεόρτιον. Ἦχος δ΄.

Ἀπεστρέφετο ποτέ, ὁ Ἰορδάνης ποταμός, τῇ μηλωτῇ Ἐλισσαιέ, ἀναληφθέντος Ἠλιού, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν· καὶ γέγονεν αὐτῷ, ξηρὰ ὁδὸς ἡ ὑγρά, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι᾽ οὗ ἡμεῖς τὴν ῥέουσαν, τοῦ βίου διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα.